www.tezaurliturgic.ro


***Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)***

***Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)***

************************************************************************

**Δρος Χαραλάμπους Μ. Μπούσια**
**Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας**

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΡΑΦΑΗΛ

## ΕΠΙΣΚΟΠΟΥ ΜΠΡΟΥΚΛΙΝ ΑΜΕΡΙΚΗΣ

*

*

*   *   *   *   *

*

*

**Ἀθῆναι 2012**

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΡΑΦΑΗΛ

## ΕΠΙΣΚΟΠΟΥ ΜΠΡΟΥΚΛΙΝ ΑΜΕΡΙΚΗΣ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΚΖ΄ Φεβρουαρίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

***************************************
***

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

**Κ**ιθάραν καλλίχορδον λαμπρῶς
ἀρετῶν τιμήσωμεν
καὶ τοῦ χρηστοῦ παναρμόνιον
ἤθους ψαλτήριον,
Ῥαφαήλ, τὸν θεῖον
ὄντως ἀρχιποίμενα,
ὡς τοῦ Εὐαγγελίου διδάσκαλον
πάντες θεόσοφον,
ὑφηγούμενον τοῖς πέρασι
τὴν εἰρήνην
Υἱοῦ τοῦ Παντάνακτος.

**Β**αθμίδας ἀνῆλθες ἀρετῶν
ταπεινῶς καὶ ἔφθασας

εἰς τελειότατα, ἔνθεε
Μπρούκλιν Ἐπίσκοπε,
Ῥαφαὴλ θεόφρον,
ὁ ποιμάνας ἄρνας σου
ἐλλόγους συνεπῶς καὶ πρὸς ἔνδροσον
κῆπον θεώσεως
κατευθύνας τούτους, Ἅγιε,
κατευθῦντορ
πιστῶν ἀπλανέστατε.

Βλαστὲ τῆς Συρίας εὐθαλές,
Ῥαφαὴλ θειότατε,
Ἱεραρχῶν ἐγκαλλώπισμα,
σέμνωμα πίστεως,
διδαχῶν σου φέγγει
καὶ αὐγαῖς ρημάτων σου
λαὸν Ἀμερικῆς κατεφώτισας,
ὃν καὶ κατηύθυνας
πρὸς τὴν πίστιν τὴν Ὀρθόδοξον
καὶ πρὸς δόμους
ἀφθίτου τερπνότητος.

Μακάρων χορείαις, Ῥαφαὴλ
πάτερ, συνηρίθμησαι
ὡς τῆς εἰρήνης διδάσκαλος
θεοειδέστατος,
Ἱεράρχα Μπρούκλιν
ὄντως θεοπρόβλητε,
ὁ ἔχων ἐκ παντοίας ἐθνότητος
ἄρνας ἐν ποίμνῃ σου
τῇ ἐλλόγῳ καὶ πρὸς θέωσιν
κατευθύνων
αὐτὴν σοῖς διδάγμασι.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ὡς ἴον εὐωδέστατον εὐαγγελικῆς ἀγάπης
κατηύφρανας τὴν ἐν Ἀμερικῇ Χριστοῦ Ἐκκλησίαν
ὀδμαῖς ἀρετῆς καὶ θεοσόφων λόγων σου,
Ῥαφαήλ, Ἐπίσκοπε πανιερώτατε·
εὐφραινόμενοι οὖν καὶ ἡμεῖς τῇ ἀντιλήψει σου
εὐφημοῦμεν τοὺς ἀόκνους σου ποιμαντικοὺς καμάτους

καὶ τιμῶμεν βαθυσεβάστως τὴν πανέορτον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

**Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαῖρε, Ἀρχιερεῦ,
πατέρων κοσμιότης
καὶ ἱεραποστόλων

Ἀμερικῆς σεμνότης,
ὦ Ῥαφαὴλ πανθαύμαστε.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Ἔμψυχον, Ῥαφαήλ,
παλάτιον σοφίας
ἐνθέου καὶ εἰρήνης
τῆς τοῦ Ὑψίστου θρόνος
ἐδείχθης χρυσοστόλιστος.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ἄνωθεν, Ῥαφαήλ,
ἁγίαζε τοὺς πίστει
τιμῶντάς σου τὴν μνήμην
τὴν φωτοφόρον, Μπρούκλιν
Ἀρχιερεῦ τρισόλβιε.

**Δόξα. Τριαδικόν.**

Δόξα Σοι, ὁ Πατὴρ
σὺν τῷ Υἱῷ τῷ θείῳ
καὶ Πνεύματι Ἁγίῳ,
ἡ ἐν μιᾷ οὐσίᾳ
Θεότης τρισυπόστατε.

**Καὶ νῦν. Θεοτοκίον.**

Χαῖρε, καταφυγὴ
πιστῶν, Θεογεννῆτορ,
ἐν πάσει περιστάσει
καὶ ἡ παραμυθία

τῶν ἐν τοῦ βίου θλίψεσι.

Νῦν ἀπολύεις**...τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

**********************************************************************************

## ΕΝ ΤΩ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

Τῶν ἱερῶν Μυστηρίων
μύστην τὸν ἔνθεον
ἐν τοῖς ἐσχάτοις χρόνοις
Ἀποστόλων τὰς τρίβους
βαδίσαντα καὶ Μπρούκλιν Ἀμερικῆς
ἐποφθέντα Ἐπίσκοπον
θεοειδῆ εὐφημήσωμεν ἐν ᾠδαῖς,
Ραφαὴλ τὸν θεοτίμητον.

Τοῦ Ῥαφαὴλ Ταξιάρχου
σεπτὸν φερώνυμον,
τὸν σπεύδοντα ἐλλόγῳ
τῇ αὐτοῦ βοηθῆσαι
ἀγέλῃ καὶ λυτρῶσαι ἐκ πειρασμῶν
καὶ δεινῶν περιστάσεων
τοὺς προσιόντας ἐν πίστει αὐτῷ σεπτὸν
Ἱεράρχην εὐφημήσωμεν.

Τὸν εὐθαλέστατον γόνον
Συρίας μέλψωμεν
καὶ σπουδαστὴν τῆς Χάλκης
τὸν σεμνὸν εὐσχημόνως
εἰρήνης Χριστωνύμων καθηγητήν,
Ῥαφαὴλ τὸν θειότατον,
ὡς Ἱεράρχην τοῦ Μπρούκλιν Ἀμερικῆς
ταπεινὸν καὶ εὐσυμπάθητον.

Ἱεραπόστολον νέον

ἐγκωμιάσωμεν
Ἀμερικῆς ἐκθύμως
ὡς Χριστοῦ Ἐκκλησίας
Ἁγίας, Ὀρθοδόξου, Καθολικῆς,
Ἀποστόλων τοῖς ἴχνεσιν
ἀκολουθήσαντα δήμοι τῶν εὐσεβῶν,
Ῥαφαήλ, σεπτὸν Ἐπίσκοπον.

Τὸν Ἱεράρχην τοῦ Μπρούκλιν
λόγοις καὶ πράξεσι
Χριστοῦ τὴν Ἐκκλησίαν
μεγαλύναντα πόθῳ
τιμήσωμεν οἱ δῆμοι τῶν εὐσεβῶν,
Ῥαφαὴλ τὸν θειότατον,
τὸν ἑαυτὸν ἀναλώσαντα ταπεινῶς
εὐσεβείας πρὸς ἐξάπλωσιν.

Μνήμην τὴν σὴν φωτοφόρον
καὶ πανσεβάσμιον
ἐπιτελοῦντες πάντες
οἱ πιστοὶ εὐσχημόνως
ὑμνοῦμεν Ἱεράρχην νῦν τὸν σοφόν,
Ῥαφαὴλ τὸν πανεύφημον,
ὡς φρυκτωρὸν εὐσεβείας καὶ προσφορᾶς
πρὸς τοὺς ἐνδεεῖς καὶ κάμνοντας.

**Δόξα. Ἦχος πλ. β΄.**

Τὸν δηλοῦντα φωνῇ στεντορείᾳ ὅτι τὰ πάντα καὶ ἐν πᾶσι Χριστός,
Ἱεράρχην Ῥαφαὴλ εὐφημήσωμεν,
ὡς ἀρχῶν Εὐαγγελίου διδάσκαλον
καὶ ἱεραποστόλων κοσμήτορα
οὕτω λέγοντες·
Ὁ μεγαλύνας Θεοῦ τὸ κράτος λόγοις καὶ πράξεσι
καὶ ἰθύνας τὴν λογικήν σου ποίμνην πρὸς νομὰς σωτηρίας,
ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον
μὴ παύσῃ Αὐτοῦ δεόμενος ὑπὲρ τῶν τιμώντων τὴν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε,Παναγία Παρθένε,...

www.tezaurliturgic.ro


**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. β΄ 1 - 11 )**

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη ; Ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν ; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. α΄ 1 - 10 )**

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα

γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐδὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ´ 1 - 9)**

**Δ**ικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα.**

**Ἦχος α´.**

**Ε**ὐφραίνου ἐν Κυρίῳ Ὀρθοδόξων ὁ δῆμος
καὶ χόρευε ἡ ἐν Ἀμερικῇ Ἐκκλησίᾳ
τιμῶσα σήμερον τὴν πανσεβάσμιον μνήμην
Ῥαφαὴλ τοῦ φωτίσαντος καὶ ἁγιάσαντός σε
καὶ αὐτῷ ἐν εὐλαβείᾳ βόησον·
Ὁ κοπιάσας ἐν τῇ τοῦ Εὐαγγελίου διαδόσει
καὶ διδάξας καὶ θεοφιλῶς ποιμάνας
τὸ λογικὸν τοῦ Ὑψίστου ποίμνιον,
μὴ παύσῃ κοπιῶν ἐν ταῖς δεήσεσιν
ὑπὲρ ὑγιείας τοῦ σύμπαντος κόσμου
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β΄.**

Ὁ Ὀρθοδόξως πολιτευσάμενος
καὶ ἀπλανῶς ποιμάνας τὴν λαχοῦσάν σοι ποίμνην,
Ῥαφαήλ, ἀξίως θεόθεν δεδόξασαι·
ὅθεν χαρᾶς οὐρανῶν ἀπολαύων καὶ δόξης μετέχων θείας,
ὡς ἐργάτης φίλεργος τοῦ ἀμπελῶνος Κυρίου,
ἀξίωσον και ἡμᾶς μετασχεῖν τοῦ Δείπνου τῆς Βασιλείας
τοὺς ἐν πίστει τιμῶντας τὴν πανσεβάσμιον μνήμην σου.

**Ἦχος γ΄.**

Αἴρων τὸ ζυγὸν τοῦ Κυρίου ἐπωμάδιον
σταυροφόρος τὸν ἱεραποστολικόν σου ἤνυσας ἐπὶ γῆς βίον,
ἵνα ἀναστασίμου χαρᾶς ἐν οὐρανοῖς ἀπολαύσῃς,
Ῥαφαήλ, Ἱεράρχα θεομακάριστε·
αὐτῆς καὶ ἡμᾶς ἀξίωσον ἀπολαῦσαι
τοὺς ψαλμῶν εὐτάκτων ἄνθεσι καταστέφοντας
τὴν λαμπρὰν καὶ πανέορτον μνήμην σου.

**Ἦχος δ΄.**

Ταῖς ἀστραπαῖς Θείου Πνεύματος περιηυγασμένος
ζόφωσιν ἀγνωσίας ἐν Ἀμερικῇ διέλυσας,
Ἱεράρχα Ῥαφαήλ, φωτόλαμπρε·
σὺ γὰρ ἔχων ἀνημμένην τῆς Ὀρθοδοξίας ἐν καρδίᾳ λαμπάδα
περιήρχου Μπρούκλιν τὴν περιοικίδα
φωτίζων ψυχὰς ἐζοφωμένας
καὶ θερμαίνων τοὺς ἐψυγμένην ἔχοντας ἀγάπην·
ὅθεν τὴν μνήμην σου σήμερον ἑορτάζοντες
καὶ τὰς θεοπειθεῖς εὐχάς σου ἐξαιτούμενοι
Χριστόν, τὸν Φωτοδότην, δοξάζομεν
τὸν φωτίζοντα ἡμῶν τὰς τρίβους πρὸς βίον κρείττονα.

**Δόξα. Ἦχος ὁ αὐτός.**

Τὸν παλλομένην καρδίαν Ὀρθοδοξίας τοῖς κτύποις ἔχοντα
καὶ ὡραίους πόδας πρὸς κήρυξιν τοῦ Εὐαγγελίου,

Ῥαφαήλ, τιμήσωμεν, τὸν ἐνθεώτατον Ἱεράρχην,
ἐν εὐλαβείᾳ Αὐτῷ κραυγάζοντες·
Ὁ Ἀποστόλων γέρα δρεψάμενος
καὶ Ἱεραρχῶν μισθὸν δεξάμενος,
ὡς οὐρανοπολίτης φωτόλαμπρος,
μὴ παύσῃ Κυρίου δεόμενος
ὑπὲρ τῶν τιμώντων τὴν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α´. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, ὁ τῆς Συρίας βλαστός,
τοῦ Μιχαὴλ καὶ Μαριὰμ γόνε τίμιε,
κιθάρα ζωῆς ἀμέμπτου,
κινύρα τῆς ἀρετῆς,
προσευχῆς ἀόκνου
τὸ ψαλτήριον,
καλλίχορδος νήψεως
λύρα καὶ ἀγαθότητος
εὔμολπος ἅρπα,
Ῥαφαὴλ ἀξιάγαστε,
ὑμνηπόλων σου
ταπεινῶν ᾆσμα εὔτακτον·
ὅθεν ἡμεῖς τὴν μνήμην σου
λαμπρῶς ἑορτάζοντες,
θεοειδὲς Ιεράρχα,
τὰς σὰς λιτὰς ἐκδεχόμεθα
πρὸς τὸν Ζωοδότην,
τὸν δωρούμενον τῷ κόσμῳ
τὸ μέγα ἔλεος.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις, περικλεὲς Ῥαφαήλ,
ὁ ἐν τῇ Χάλκῃ καὶ Κιέβῳ τὴν θύραθεν
παιδείαν λαβὼν ἀφθόνως
καὶ τὴν σοφίαν Θεοῦ
δῶρον οὐρανόθεν,
πάτερ Ὅσιε,

www.tezaurliturgic.ro


διὰ τοὺς ἀγῶνάς σου
τοὺς σεπτοὺς πρὸς ἐξάπλωσιν
τῆς ἀληθείας,
ἀηδὼν ἐξυμνήσεως
τοῦ Παντάνακτος
Λόγου Κτίσαντος εὔλαλε·
μέμνησο οὖν, ἰσάγγελε
βροτέ, τῶν τιμώντων σε
καὶ ἐκτελούντων σὴν μνήμην
τὴν λαμπροφόρον ἐν ᾄσμασι,
σεπτὲ ποιμενάρχα
ἐν Ἀμερικῇ τοῦ Μπρούκλιν,
ἀξιοθαύμαστε.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις, Ἱεραρχῶν καλλονὴ
Ἀμερικῆς, ὁ τὸν σὸν βίον τὸν ἄμεμπτον
σφραγίσας ποιμαντορίᾳ
σῇ θαυμαστῇ, Ῥαφαήλ,
ἱεραποστόλων
ἐγκαλλώπισμα,
ὀδμαῖς ὁ τῶν πόνων σου
κατευφράνας ὁμήγυριν
τῶν Ὀρθοδόξων
ἐν ἐσχάτοι τοῖ ἔτεσι
καὶ τοῖς μύροις σου
σῶν ἀμνῶν ὁδηγήσεως
πρὸς τοὺς λειμῶνας χάριτος
ἡδύνας τὰ σύμπανα,
τὰ ἐκτελοῦντα σὴν μνήμην
νῦν τὴν λαμπρὰν καὶ πανέορτον
λαμπραῖς μελῳδίαις
καὶ ψαλμοῖς εὐήχοις, πάτερ
πνευματοφόρητε.

**Δόξα. Ἦχος πλ. δ΄.**

Μυράλειπτρον εὐωδέστατον ποιμαντικῆς ἐπιστήμης,
δυσωδίαν λαοῦ ἀγνωσίας διέλυσας
καὶ αὐτοῦ ψυχὰς ἥδυνας λόγοις καὶ διδάγμασι σου,
Ἱεράρχα Ῥαφαήλ, θεόσοφε·

ποιμάνας οὖν θεαρέστως τοὺς ἐν Ἀμερικῇ ἄρνας σου
καὶ τὸ κράτος μεγαλύνας τοῦ Λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν,
ἀπῆλθες Αὐτῷ αἰωνίως συνευφραίνεσθαι
καὶ πρεσβεύειν ὑπὲρ τῶν τιμώντων τὴν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

**Ἀπολυτίκιον.Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἐφαπλοῦντα εἰρήνην Χριστοῦ τοῖς πέρασιν
Ἱεροφάντορα θεῖον
δυνάμει ἑνοποιῷ
τὸν συνδοῦντα Ὀρθοδόξους μεγαλύνωμεν
ὕμνοις εὐτάκτοις, Ῥαφαήλ,
νεαυγῆ Ἀμερικῆς
φωστῆρα ἐκ τῆς Συρίας
ἀναφανέντα πρεσβείας
αὐτοῦ ἐνθέρμους ἐξαιτούμενοι.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

*************************************************************

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Θεόφρον Ῥαφαήλ,
Ἱεράρχα τοῦ Μπρούκλιν,
ὁ λόγοις σου σοφοῖς
τὴν σὴν ποίμνην ἰθύνας
σαφῶς πρὸς σκηνώματα
οὐρανῶν, ἐξ εὐκλείας σου
ὕψους ἔπιδε
ἐπὶ τοὺς σοὶ προσιόντας
καὶ κατάπεμψον
ἡμῖν τὴν θείαν σου χάριν

www.tezaurliturgic.ro


ἀφθόνως, θειότατε.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Μερόπων χαρμονῆς
τῆς ἀλήκτου αἰτία,
ἡ τέξασα Χριστόν,
τῆς ἀγάπης τὸ ῥεῖθρον,
σεμνὴ ἀειπάρθενε,
Θεοτόκε πανύμνητε,
πάντας πότισον
τοῖς ὀχετοῖς σῆς ἀγάπης
καὶ προνοίας σου
καὶ ἀντιλήψεως θείας
τοὺς σὲ μακαρίζοντας.

**Μετὰ τὴν β´ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ´. Ταχὺ προκατάλαβε.**

Τοῦ Μπρούκλιν Ἐπίσκοπε
Ἀμερικῆς, Ῥαφαήλ,
ἐμπράκτως, πανόσιε,
ὀρθοτομήσας καλῶς
τὸν λόγον τοῦ Κτίσαντος,
ἤγουν τῆς ἀληθείας,
δρόμον ἤνυσας βίου
πανευλαβῶς προσκαίρου
καὶ ἀπῆλθες συγχαίρειν
Χριστῷ, τῷ εὐϊλάτῳ Θεῷ
καὶ Παντοκράτορι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Πιστοὺς κατευθύνουσα
μὴ διαλείπῃς σαφῶς
ἐκ ζόφου τῶν θλίψεων
εἰς χρυσαυγὴν χαρμονῆς,
πανύμνητε Δέσποινα,
Μῆτερ Θεοῦ Ὑψίστου,
καὶ φθορᾶς ἐκ τοῦ σκότους
πρὸς ἀφθαρσίας ἦμαρ
αἰωνίως συγχαίρειν
Χριστῷ, τῷ Φωτοδότῃ ἡμῶν,

πόλου ἐν δώμασι.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Ἀρότρῳ, Ἅγιε, ποιμαντορίας σου
ψυχὰς τῆς ποίμνης σου ἀνίκμους, Ὅσιε,
ἱεροφάντορ Ῥαφαήλ, ἑπόμενε Ἀποστόλων
θείων, ἐγεώργησας ἀμητὸν πρὸς πολύφορον
καὶ πρὸς ἀφθαρτότητος πλουσιώτατον κάρπωμα·
διό σοι εὐχαρίστως βοῶμεν· Χαῖρε, Ἱεραρχῶν λαμπρότης.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς Χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον· Ὁσιακόν (Λουκ. στ΄ 17 - 23).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
**Ζήτει τῇ Παρασκευῇ τῆς Β΄ Ἑβδομάδος.**
**Ὁ Ν΄ Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β΄**
Ἐκτενῶς δεόμενος τοῦ Κυρίου τῆς δόξης
καὶ ἀδιαλείπτως Αὐτῷ ψάλλων
κατηύθυνας τὰ διαβήματά σου εἰς ψυχῶν εὐαγγελισμόν,
Ῥαφαήλ, Ἀμερικῆς ἱεραπόστολε·
κηρύξας οὖν καὶ ποιήσας
ἀπῆλθες χαρίεις ὑπαντῆσαι τῷ ἐφετῷ τῆς καρδίας σου,
τῷ παρέχοντι πᾶσιν ἡμῖν εὐχαῖς σου τὸ πλούσιον ἔλεος.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·**

" Ῥαφαήλ, Ἀμερικῆς ἱεροφάντορος, ὕμνος. Χ. "

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ῥεόντων ὑπέρτερε
καὶ ὑπερόπτα φθαρτότητος
γηΐνης, Ἐπίσκοπε
Ἀμερικῆς, Ῥαφαήλ,
κόσμῳ ἔλαμψας
ἐν ἔτεσιν ἐσχάτοις
ὡς ἄστρον νεόφωτον
ἤθους χρηστότητος.

Ἀμέμπτως ἐβίωσας
καὶ ἀπλανῶς καθωδήγησας
πρὸς πόλου σκηνώματα
λαὸν Θεοῦ, Ῥαφαήλ,
ὁ Ἐπίσκοπος
ὁ ταπεινὸς καὶ πρᾶος
εἱς τύπον γενόμενος
Λόγου τοῦ Κτίσαντος.

Φωτὶ διδαγμάτων σου
τῶν ψυχοτρόφων κατηύγασας
ψυχῶν τὰ ἐνδότερα
τῶν σῶν ἀμνῶν, Ῥαφαήλ.
καὶ διέλυσας
τὸν ζόφον ἀγνωσίας
αὐτῶν τῇ οἰκούσῃ σοι
Πνεύματος χάριτι.

**Θεοτοκίον.**

Ἀπαύστως ὑμνοῦμέν σε,
θεοχαρίτωτε Δέσποινα,
τὴν πάντων βοήθεια
καὶ ταχινὴν ἀρωγὸν
ἐν στενώσεσι
καὶ θλίψεσι τοῦ βίου,
σεμνὴ ἀειπάρθενε,
Θεογεννήτρια.

www.tezaurliturgic.ro


**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Ἡγίασας ῥείθροις σου ἱδρώτων
τὴν ἤπειρον τῆς Ἀμερικῆς
καὶ Μπρούκλιν ἐγεώργησας
ἀρότρῳ διδαγμάτων σου
τὴν χθόνα πρὸς ἐκβλάστησιν
τῆς ἀρετῆς θείου στάχυος.

Λαμπὰς τῶν ἀρχῶν Εὐαγγελίου
νεόφωτος, μάκαρ Ῥαφαήλ,
ἐφώτισας ἀκτῖσί σου
τῆς κτίσεως τὰ πέρατα
καὶ ζόφωσιν ἀπήλασας
αὐτῶν αὐγαῖς σοῦ κηρύγματος.

Ἀξίως τιμῶμέν σου τὴν μνήμην,
σεπτὲἹεράρχα, Ῥαφαήλ,
ἐκβλάστημα θειότατον
Συρίας καὶ ἡδύπνευστον
τῆς Ἐκκλησίας λείριον,
εὐωδιάζον τὰ σύμπαντα.

**Θεοτοκίον.**

Μητρόθεε Κεχαριτωμένη,
λιταῖς Ἱεράρχου Ῥαφαήλ,
εὐλόγει τοὺς ὑμνοῦντάς σε
καὶ ἔργα καθαγίαζε
τῶν προστρεχόντων πάντοτε
τῇ ἀῤῥαγεῖ προστασίᾳ σου.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Θείου Πνεύματος τῇ ἐπιπνοίᾳ
κατεκόσμησας τὴν Ἐκκλησίαν
διδαχῶν σου μαργαρίταις, θειότατε,
καὶ τοῖς σαπφείροις πανσόφων φθεγμάτων σου,
θεοειδὲς Ῥαφαήλ, ἰσαπόστολε·
ὅθεν μνήμην σου τιμῶντες τὴν πανσεβάσμιον
εὐχὰς τὰς διαθέρμους σου αἰτούμεθα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Παντευλογητε Μῆτερ Ὑψίστου,
τοῦ κενώσαντος δι’ εὐσπλαγχνίαν
ἑαυτὸν καὶ εἰληφότα μερόπειον
σάρκα, Χριστοῦ, οὐρανόθεν κατάπεμψον
ἡμῖν Αὐτοῦ τὸ ἀμέτρητον ἔλεος
τοῖς ὑμνοῦσί σε ἀπαύστως ὡς εὐσυμπάθητον
μητέρα Ἐκκλησίας τοῦ πληρώματος.

**Ὠδὴ δ´. Ὁ καθήμενος ἐν δόξῃ.**

Εὐσεβῶν γονέων γόνε,
Ῥαφαὴλ θεοτίμητε,
Μιχαὴλ ὀλβίου
καὶ τῆς Μαριὰμ τῆς καλλίπαιδος,
ἐκ τῆς Συρίας ὁρμώμενος ὡράϊσας
πολιτείᾳ σου
ἀμέμπτῳ κόσμου τὰ πέρατα.

Ῥαφαὴλ πνευματοφόρε,
θείαν γνῶσιν προσέλαβες
ἐν Σχολῇ τῆς Χάλκης
καὶ Κιέβου, θεῖε Ἐπίσκοπε,
ἥνπερ μετέδωκας ποίμνῃ τῇ ἐλλόγῳ σου
σοῖς διδάγμασι
καὶ σῷ σεπτῷ παραδείγματι.

Ἱεράρχα θεοφόρε,
Μπρούκλιν ποίμνην ἐποίμανας,
Ῥαφαὴλ τρισμάκαρ,
ἀπλανῶς καὶ ἴθυνας ἄριστα
πρὸς σωτηρίας αὐτὴν λειμῶνας, πάντιμε,
ὡς ἀνύστακτος
χειραγωγός, πάτερ Ὅσιε.

**Θεοτοκίον.**

Κάθαρόν με, Θεοτόκε,
ἐκ βορβόρου τῶν ἔργων μου
καὶ διόρθωσόν μου
λογισμοὺς ἀτάκτους σῇ χάριτι,
ὑπεραγία Παρθένε, κόσμου σώτειρα,

Μῆτερ εὔσπλαγχνε
Λόγου Θεοῦ πανοικτίρμονος.

**ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ἠξίωσε Κύριος
σέ, Ῥαφαὴλ θειότατε,
ἐν Ἀμερικῇ διακονῆσαι
τῇ Ἐκκλησίᾳ
σῇ σεβασμίᾳ Αὐτοῦ
ποιμὴν ὡς καλός, θεοειδές,
καὶ σεμνὸς Ἐπίσκοπος
ἐν ἐσχάτοις τοῖς ἔτεσι.

Συνέσεως ἔκτυπον
καὶ βάθρον ὁσιότητος,
Ῥαφαήλ, σεπτὲ ἱερομύστα
τῆς Ἐκκλησίας
ἐν Μπρούκλιν Ἀμερικῆς,
ἐστήριξας πάντας εὐσεβεῖς
βακτηρίᾳ λόγων σου
θεοσόφων καὶ πράξεων.

Ἰσχὺν τὴν οὐράνιον
λαβὼν δι’ ἐναρέτου σου
βίου, τὴν συνέπειαν, τρισμάκαρ,
ἴσχυσας πάντας,
θεοειδὲς Ῥαφαήλ,
ἰθῦναι σαφῶς πρὸς οὐρανούς,
ἔνθα τὸ πολίτευμα
ἔσχες ὡς ἀγγελόβιος.

**Θεοτοκίον.**

Εὐλόγει τοὺς δούλους σου
ἀεί σε μακαρίζοντας,
Κεχαριτωμένη Θεοτόκε,
εὐλογημένη,
Παρθένε, ἐν γυναιξί,
Κυρία τῆς γῆς καὶ οὐρανοῦ,
ἡ ἐπισκιάζουσα
τοὺς πιστῶς προσιόντας σοι.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ῥεόντων πάντων ἠλόγισας
καὶ πάντα ἐν τῷ πόλῳ ἐπόθησας
τὰ διαμένοντα
εἰς τοὺς αἰῶνας, μακάριε,
τοῦ Μπρούκλιν Ἱεράρχα
θεοφορούμενε.

Ὁσίως δρόμον διήνυσας
τῆς τῆς ποιμαντορίας, θεσπέσιε
ἱεραπόστολε,
ὦ Ῥαφαήλ, καὶ ἐπέτυχες
Χριστῷ ἀεὶ συνεῖναι
τῷ σὲ δοξάσαντι.

Φωτὶ πανσόφων ῥημάτων σου,
τρισμάκαρ Ῥαφαήλ, κατεφώτισας,
φωτοειδέστατε
ἱεραπόστολε, ἤπειρον
Ἀμερικῆς ἀρτίως,
ἀγνωστικίζουσαν.

**Θεοτοκίον.**

Ἁγνείας ἄσειστον ἔρεισμα,
ἁγνοὺς ἡμᾶς συντήρει ἀείποτε
σὲ μακαρίζοντας,
Θεογεννῆτορ πανύμνητε,
Ναὸν Θεοῦ Ὑψίστου
ὡς καθαρώτατον.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Ἱεροφάντορα τοῦ Μπρούκλιν ὁσιώτατον,
Θεοῦ εἰρήνην πᾶσιν εὐαγγελιζόμενον,
Ῥαφαήλ, σεπτὸν Ἐπίσκοπον, εὐσχημόνως
ἐκ Συρίας τὸν ὁρμώμενον καὶ ἅπαντας
Ὀρθοδόξους κατευφράναντα διδάγμασι
θείοις κράζοντες· Χαίροις, Πίστεως ἔρεισμα.

**Ὁ Οἶκος.**

www.tezaurliturgic.ro


Ἄγγελοι καθορῶντες,
Ῥαφαήλ, ποιμασίας
ἀγῶνάς σου ἐξέστησαν, πάτερ,
καὶ ἀγέλη σου ἡ λογικὴ
ἐξεπλάγη βίον σου σεμνὸν βλέπουσα
καὶ τὸν Χριστὸν δοξάσουσα
ἐβόα σοι ἐν κατανύξει·

Χαῖρε, τὸ βλάστημα τῆς Συρίας·
χαῖρε, τὸ σέμνωμα ποιμασίας.

Χαῖρε, Ἀποστόλων τῶν θείων ἑπόμενος·
χαῖρε, τῶν χαρίτων δοχεῖον τοῦ Πνεύματος.

Χαῖρε, ὅτι κατεφώτισας ἤπειρον Ἀμερικῆς·
χαῖρε, ὅτι κόσμῳ ἔλαμψας ὥσπερ σέλας ἀρετῆς.

Χαῖρε, ὁ κατευθύντωρ σῆς ἀγέλης πρὸς πόλον·
χαῖρε, ὁ παρακλήτωρ τῶν δεινῶς τρυχομένων.

Χαῖρε, φωστὴρ τοῦ Μπρούκλιν ὑπέρφωτος·
χαῖρε, κρατὴρ ἀγάπης θειότατος.

Χαῖρε, κιννάμωμον Ὀρθοδοξίας·
χαῖρε, τὸ λείριον τῆς εὐσεβείας·

Χαίροις, Πίστεως ἔρεισμα.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΚΖ´ Φεβρουαρίου. Εἶτα λέγομεν·**

Τῇ ΚΖ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Ῥαφαήλ, ἱεραποστόλου Ἀμερικῆς καὶ Ἐπισκόπου Μπρούκλιν χρηματίσαντος.

**Στίχοι.**

**Ἀρχὰς τηρήσας σεπτοῦ Εὐαγγελίου,**
**Ῥαφαήλ, ἔλαμψας ποιμασίας τρόποις.**

**Συναξάριον.**

Ὁ ἐν Ἁγίοις πατὴρ ἡμῶν Ῥαφαὴλ ἐγεννήθη ἐν Συρίᾳ ἐξ εὐλαβῶν γονέων, τοῦ Μιχαὴλ καὶ τῆς Μαριάμ, ἐν ἔτει 1860. Σπουδάσας ἐν τῇ Θεολογικῇ Σχολῇ τῆς Χάλκης, ἔνθα καὶ ἐχειροτονήθη Διάκονος, καὶ ἐν τῇ Θεολογικῇ Ἀκαδημίᾳ τοῦ Κιέβου, ἔνθα καὶ ἐχειροτονήθη

Πρεσβύτερος, ἀνέλαβε καθήκοντα ἐξάρχου τοῦ Πατριαρχείου Ἀντιοχείας ἐν Ῥωσίᾳ. Ὑπὸ ἱεραποστολικοῦ ζήλου ἐμφορούμενος κατηύθυνε τὰ διαβήματα αὐτοῦ εἰς Ἀμερικήν, ἔνθα πλῆθος Ναῶν ἤγειρε, βιβλία συνέγραψε, ψυχὰς ἐφώτισε καὶ Ἐπίσκοπος Μπρούκλιν ἀνεδείχθη ἐν ἔτει 1903 Θείᾳ Χάριτι. Ἐκοιμήθη ἐν εἰρήνῃ τῇ 27ῃ Φεβρουαρίου τοῦ σωτηρίου ἔτους 1915 καταλιπὼν τριάκοντα ἐνορίας εἰκοσιπένε χιλιάδων πιστῶν. Τὸ σεπτὸν αὐτοῦ λείψανον ἐν τῇ ἀνακομιδῇ εὑρέθη ἀδιάφθορον καὶ μετεκομίσθη εἰς τὴν κώμην Λιγκονιὲρ τῆς Πενσυλβανιας, ἔνα ἄχρι τοῦ νῦν φυλάσσεται ὡς πολύτιμον κειμήλιον καὶ πηγὴ ἰαμάτων.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Νέκταρ ἥδιστον
τῆς Ὀρθοδόξου πίστεως
πιεῖν μετέδωκας
Ἀμερικῆς, Ῥαφαήλ,
λαῷ, ἐνθεώτατε,
ὅπερ ἀπέσταζεν
ἐκ χειλέων σου
τῶν πανιέρων, Ὅσιε,
Μπρούκλιν θεῖε Ἱεράρχα.

Τιμιώτατε
Ἀρχιερεῦ, ἡδύοσμε
τερπνὲ τῆς πίστεως,
ὀδμαῖς τῆς σῆς ἀρετῆς
καθήδυνας ἄρνας σου
ἐλλόγους, Ὅσιε,
καὶ κατηύφρανας
Ἀμερικῆς τὸ ποίμνιον,
Ῥαφαὴλ Ἱερομύστα.

Ὁσιότητος
λαμπόμενος πυρσεύμασι
καὶ ἀμαρύγμασι
παντοειδοῦς ἀρετῆς
ἐφώτισας σύμπαντα,

νῦν θείαν μνήμην σου
ἑορτάζοντα
πνευματικοῖς ἐν ᾄσμασι,
Ῥαφαὴλ πνευματοφόρε.

**Θεοτοκίον.**

Ῥῦσαι θλίψεων
καὶ ἀναγκῶν τοὺς δούλους σου,
Θεογεννήτρια,
ἑτοίμη καταφυγὴ
σπευδόντων ἑκάστοτε
τῇ ἀντιλήψει σου,
προστασίᾳ σου
τῇ ἀκλινεῖ καὶ χάριτι
θείᾳ, Μῆτερ Παναγίᾳ.

**ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.**

Ὄλβε πολιτείας Ὀρθοδόξου,
εἰρήνης Θεοῦ πολύτιμον κειμήλιον,
μάργαρον σεμνότητος,
ἀρετῆς ἀλάβαστρον
καὶ σάπφειρε χρηστότητος,
Χριστοῦ ἐκόσμησας
τὴν θείαν, Ῥαφαήλ, Ἐκκλησίαν,
νῦν ἐπιτελοῦσαν
σὴν λαμπροφόρον μνήμην.

Στῦλε, Ῥαφαήλ, τῆς εὐσεβείας
ἀσάλευτε, τὸ σὸν ποίμνιον ἐστήριξας
νουθεσίαις θείαις σου,
ἱεροῖς διδάγμασι
καὶ εὐποιΐας πράξεσι,
σεπτὲ Ἐπίσκοπε,
ὁ κράτος τοῦ Θεοῦ μεγαλύνας
ποιμαντορικῇ σου,
θεόφρον, ἐπιστήμῃ.

Ὕψωσον ἡμῶν τὰς διανοίας
πρὸς Κύριον, τὸν εὐΐλατον Θεάνθρωπον,
σῶσαι πάντας θέλοντα
εἰς Αὐτὸν πιστεύοντας

καὶ παῦσον τὰ χαμαίζηλα
σαρκὸς σκιρτήματα
ἡμῶν νῦν, Ῥαφαήλ, σὲ τιμώντων
ὥσπερ ποδηγέτην
πιστῶν πρὸς σωτηρίαν.

**Θεοτοκίον.**

**Μ**έμνησο ἡμῶν μεγαλυνόντων
ἀείποτε, Θεοτόκε, σέ, πανύμνητε,
ὡς πιστῶν διάσωσμα,
ὅρμον ἀκλυδώνιστον
θαλαττευόντων, ἄχραντε,
καὶ ἀκατάβλητον
προπύργιον ἡμῶν προστασίας
ἐκ τυφῶνος ἄχθους
καὶ λυπηρῶν παντοίων.

**ᾨδὴ θ΄. Ἅπας γηγενής.**

**Ν**ίκης, Ῥαφαήλ,
χρυσόπλοκον στέφανον
ἀφθίτου εἴληφας
ἐκ χειρῶν τοῦ Κτίσαντος,
Θεοῦ Ὑψίστου
τοῦ Λόγου, ἄμεμπτε
Ἀρχιερεῦ, τῆς πίστεως
ἡμῶν θησαύρισμα,
ὁ θεόθεν
ἐφορῶν ἱκέτας σου
ἑορτάζοντας πάνσεπτον μνήμην σου.

**Ὄ**ρθρε, Ῥαφαὴλ
σεπτέ, χρυσαύγεστατε
Χριστοῦ τῆς πίστεως,
ὁ διώξας ζόφωσιν
τῆς ἀγνωσίας
λαῶν, ἀπέλασον
ἡμῶν δεινὴν σκοτόμαιναν
μακαριζόντων σε
Ἱεράρχην

ὡς σεπτὸν καὶ πάνσοφον,
καὶ τιμώντων ἐκθύμως τὴν μνήμην σου.

Σὲ τὸ νεαυγὲς
ἐκπύρσευμα πίστεως
καὶ ἀναλώσεως
σεαυτοῦ ποιμνίου σου
ταῖς χρείαις, πάτερ,
ᾠδαῖς γεραίροντες
πνευματικαῖς προσφεύγομεν
ταῖς ἱκεσίαις σου
πρὸς τὸν ζῶντα,
Ῥαφαήλ, Παντάνακτα
καὶ Θεὸν συμπαθῆ καὶ εὔΐλατον.

**Θεοτοκίον.**

Χαῖρε, ἡ πηγή,
ἡ βλύζουσα νάματα
χαρᾶς τοῖς δούλοις σου,
Θεοτόκε Δέσποινα,
παραμυθία
τῶν ἐν ταῖς θλίψεσι,
χαῖρε, ἡ θεία γέφυρα
πιστοὺς μετάγουσα
ἀφθαρσίας
πρὸς σκηνάς, Παντάνασσα,
ἀπλανὴς ὡς τοῦ κόσμου ἰθύντειρα.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Ἱεραρχῶν ὡράϊσμα,
Συρίας θεῖον βλάστημα,
ὁ Ἀποστόλων βαδίσας
τὰ ἴχνη ἄρτι καὶ θεῖον
κηρύξας Εὐαγγέλιον
Ἀμερικῆς εἰς πέρατα,
Χριστὸν ἡμῖν ἱλέωσαι,
ὦ Ραφαηλ, τοῖς τιμῶσι
σὴν πανσεβάσμιον μνήμην.

**Θεοτοκίον.**

Πυξίον ταπεινώσεως,
ἁγνείας καὶ σεμνότητος,
Θεογεννῆτορ Παρθένε,
ἁγνοὺς τοὺς δούλους σου τήρει
σὲ πόθῳ μεγαλύνοντας
καὶ σὸν Υἱὸν δοξάζοντας,
δι' ἄκραν ἀγαθότητα
ἐκ σοῦ μορφὴν ἀνθρωπίνην
λαβόντα, Μῆτερ ἁγία.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος!**

Πάτερ Ῥαφαήλ, πανίερε,
Ὀρθοδοξίας πυρσέ,
Ἀρχιμύστα πανόσιε,
εὐθαλὲς ἐκβλάστημα
τῆς Συρίας καὶ σέμνωμα
τῆς Ἐκκλησίας
περιφανέστατον,
Εὐαγγελίου
ἀρχῶν διδάσκαλε,
ποιμαντορίᾳ σου
ὁ λαμπρύνας σύστημα Ἀμερικῆς
εὐσεβῶν πυρσεύμασι
σοῦ παραδείγματος.

Χαῖρε, Ῥαφαήλ, διάκοσμε
τῆς Ἐκκλησίας Χριστοῦ,
ὥσπερ σάλπιγξ μεγάφωνος
ὁ σαλπίζων πέρασι
τὴν εἰρήνην τοῦ Κτίσαντος,
Θεοῦ τοῦ Λόγου,
δι' ἀγαθότητα
μορφὴν λαβόντος
οἰκέτου, πάντιμε,
εἰ καὶ τοῦ σύμπαντος
ὅλου κυριεύοντος ὡς ἀληθῶς,
Ἱεράρχα τίμιε,
σεπτὲ καὶ ἄδολε.

Μάκαρ Ῥαφαήλ, ἐν ἔτεσιν
ἐσχάτοις Ἀμερικὴν
κατεφώτισας λόγων σου
ἀστραπαῖς, σεβάσμιε
Ἱεράρχα, καὶ ποίμνην σου
ἴθυνας Μπρούκλιν
πρὸς τελειότητα,
ὡς κατευθύντωρ
πιστῶν πρὸς θέωσιν·
πάτερ παγκόσμιε,
ὅθεν πάντες μνήμην σου τὴν φωταυγῆ
καὶ σεπτὴν ἐν ᾄσμασι
πανηγυρίζομεν.

Χαίροις, Ῥαφαὴλ πανθαύμαστε,
Ὀρθοδοξίας πυρσέ,
τὴν παιδείαν τὴν θύραθεν
ἐν τῇ Χάλκῃ πρότερον
ὁ λαβών, παναοίδιμε,
καὶ ἐν Κιέβῳ
ὕστερον, Ὅσιε,
καὶ τὴν σοφίαν
τὴν διασῴζουσαν
δι' ἀποκρύψεως
ἐν ταμείῳ, ἔνθεε, τῆς σῆς ψυχῆς,
ἄκρας ταπεινώσεως, εὐχῆς καὶ νήψεως.

**Δόξα. Ἦχος πλ. α΄.**

Δεῦτε πνευματικῷ τῷ τρόπῳ ὑμνήσωμεν
τὸν Ὅσιον ἐν Ἀρχιερεῦσι καὶ πάνσοφον ἐν Ἱεραποστόλοις,
Ῥαφαήλ, τὸν ἐν Ἀμερικῇ ἀρτίως διαπρέψαντα,
ἐν ἀγαλλιάσει βοῶντες·
Θεοφώτιστε κῆρυξ τοῦ Εὐαγγελίου τῆς εἰρήνης
καὶ θεοπρόβλητε ποιμὴν τῆς λογικῆς τοῦ Κυρίου ἀγέλης,
ὡς Χριστοῦ νῦν ἀπολαύων ὡραιότητος,
μὴ παύσῃ Αὐτοῦ δεόμενος
ὑπὲρ τῶν ἐκθύμως τιμώντων τὴν ἀεισέβαστον μνήμην
σου.

**Καὶ νῦν. Θεοτοκίον.**

www.tezaurliturgic.ro


Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

************************************************************

# Ε Ν Τ ΗΙ Λ Ε Ι Τ Ο Υ Ρ Γ Ι ᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ´ καὶ ἡ στ´ ᾠδή.**
**Ἀπόστολος· πρὸς Γαλάτας. (Κεφ. ε´ 22 - στ´ 2 )**
Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστι, χαρά,...
**Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ´ Ἑβδομάδος.**
**Εὐαγγέλιον· κατὰ Λουκᾶν. (Κεφ. ιγ´ 17 - 23 )**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
**Ζήτει τῇ Πέμπτῃ τῆς Δ´ Ἑβδομάδος.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

**Μεγαλυνάριον.**

Χαίροις, ἱερώτατε Ῥαφαήλ,
Ἀρχιθῦτα πάνυ,
ὁ ἐν Μπρούκλιν Ἀμερικῆς
Ὀρθοδόξους ἄρνας
ποιμάνας θεαρέστως
ἐν τοῖς ἐσχάτοις χρόνοις,
πάτερ πανόσιε.

**Δίστιχον.**

**Ῥαφαὴλ ὕμνησε Παϊσίου χάριν,
μοναχοῦ σεμνοῦ, Χαραλάμπης ἐκθύμως.**

**Τρισσεῦον Κύριε Ἐλέησον Λιτῆς Ἁγίου Ὄρους.**

***Ῥαφαὴλ Ἐπίσκοπε,**** **Ὀρθοδόξους ἅπαντας* σαῖς λιταῖς εἰρήνευε.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι Δ Ο Ξ Α**

**Τ Ω Μ Ο Ν Ω Α Λ Η Θ Ι Ν Ω**

www.tezaurliturgic.ro


## Θ Ε Ω   Η Μ Ω Ν

**Ἀριθμ. Καταλ. Α 643 / 1-12-12**

**Βλαδίτση Ἑλένη,**
**25ης Μαρτίου 3,**
**152 37 Φιλοθέην,**
**τηλ. 210 715 893**